ΔΙΟΝΥΣΙΑΚΩΝ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΟΝ.

Ὣς φαμένου νεφεληδὸν ἐπέρρεον αἴθοπες Ἰνδοὶ
ἀμφὶ ῥόον ποταμοῖο μελίπνοον· ὧν ὁ μὲν αὐτῶν
ἀγχιβάτης στατὸν ἴχνος ἐπ' ἰλύι δισσὸν ἐρείσας
ἡμιφανὴς ἕστηκε, καὶ ὀμφαλὸν ὕδατι δεύων,
κυρτὸς ἔσω ποταμοῖο κεκυφότα νῶτα τιταίνων,
χερσὶ βαθυνομένῃσι μελισταγὲς ἤφυσεν ὕδωρ·
ὃς δὲ παρὰ προχοῇσι, κατάσχετος αἴθοπι δίψῃ,
πορφυρέῳ προβλῆτα γενειάδα κύματι βάπτων,
στῆθος ἐφαπλώσας ποταμηίδος ὑψόθεν ὄχθης,
οἰγομένοις στομάτεσσιν ἀνείρυσεν ἰκμάδα Βάκχου·
πρηνὴς δ' ἄλλος ἔην πελάσας στόμα γείτονι πηγῇ,
καὶ διερὰς δαπέδῳ ψαμαθώδεϊ χεῖρας ἐρείσας
χείλεσι διψαλέοισιν ἐδέχνυτο δίψιον ὕδωρ·
ἄλλοι δ' ὀστρακόεντι μέθην ἀρύοντο κυπέλλῳ,
πυθμένα κουφίζοντες ἑαγότος ἀμφιφορῆος·

---

15 > αρχη το[υ] ιε ποιηματος των ⟨ ⟩ διονυσιακων νοννο[υ] ποιητου ⟨ Π. — 1 ϊνδοι Π. — 2 μελίπνοον LΩ; μελιρρυτον (superscr. πνοον) Π pc. — ὁ om. l (add. c); ὃ gmk. — ο μ[εν] αυτων Π. — 3 ἀγχιβάτης scripsi; ἀγχιβαφὴς LΩ (. . .]ης Π); ἀγχιβαθὴς gk; ἀμφιβαφὴς g*m. — επ' ϊλυϊ Π. — 4 ἕστηκε FMf. — ϋδατ[ι Π. — 5 fol. 60ᵛ L, 52ᵛ P. — τιταίνων scripsi (coll. 1, 52. 5, 151); . . .]νω̄ Π; 'διαίνων?' Wilamowitz; συνάπτων LΩ (cf. 101. 10, 168). — 6 ϋδωρ Π. — 7 διψ]ηι Π. — 10 ἀνείρυσεν k (cf. 61. 2, 501); ἀνήρυσεν LΩ (-ρησεν F). — βα]κχου Π. — 11 πρηνής Lf. —γειτονι] . . . . . πηγηι Π pc. (vocis deletae littera finalis η videtur fuisse). — 12 ερεισ]ας Π. — 13 'δίψιον valde suspectum; num δύσχροον an δύσκριτον?' k* (v. Lcb ¹ 69). — υδ]ωρ Π. — 14 κυπελλ]ωι Π. — 15 ἀμφιφορηο]ς Π.

καὶ πολὺς ἑσμὸς ἔπινεν ἐρευθιόωντι ῥεέθρῳ,
κισσυβίῳ προχέων ποταμηίδος ὄγκον ἐέρσης,
μηλονόμων ἄγραυλον ἔχων δέπας. ἀντιβίων δὲ
οἶνον ἐρευγομένων πολυχανδέος ἀνθερεῶνος
ὄμμασι δερκομένοισιν ἐδιπλώθησαν ἐρίπναι,
καὶ βλεφάροις δοκέεσκον ἰδεῖν διδυμόζυγον ὕδωρ.
καὶ προχοὴ κελάρυζε φιλακρήτου ποταμοῖο
ξανθὸν ἀναβλύζουσα μέθης ῥόον· ἡδυπότου δὲ
οἰνάδος ἠρεύγοντο ῥοὰς εὐώδεες ὄχθαι.
δυσμενέας δ' ἐμέθυσσε χάλις ῥόος. ἔνθά τις ἀνὴρ
Ἰνδὸς ἀμερσινόοιο μέθης δεδονημένος οἴστρῳ
εἰς ἀγέλην ἤιξε, καὶ εὐπετάλῳ παρὰ λόχμῃ
ταῦρον ἀπειλητῆρα μετήγαγε δέσμιον ἕλκων,
διχθαδίων κεράων κεχαραγμένον ἄκρον ἐρύσσας
τολμηραῖς παλάμαις, διδυμάονος οἷα κεραίης
ταυροφυῆ Διόνυσον ὑπὸ ζυγὰ δούλια σύρων·
ἄλλος ἔχων δασπλῆτα σιδηρείης γένυν ἅρπης
αἰγὸς ὀρεσσινόμοιο διέθρισεν ἀνθερεῶνα,
θηγαλέῳ δρεπάνῳ δεδαϊγμένον, οἷά τε δειρὴν
Πανὸς ἐυκραίροιο ταμὼν γαμψώνυχι χαλκῷ·
ἄλλος ἀπηλοίησε βοῶν κεραελκέα φύτλην,
οἷά περ ἀμώων Σατύρων ταυρώπιδα μορφήν,

17 *ποταμηΐδος Ffl.* — *ὄγκον LΩ* (ut 12, 301); *ὄμβρον* Cun., *k* (ut 12, 163). — 19 *ἐρευγομένων LΩ* (Hom. ι 374 *ὁ δ' ἐρεύγετο οἰνοβαρείων* confert *k**); *ἀρυομένων g*m.* — 23 *ἡδυπότου LΩ*; *ἡδυπό* (τ' suprascr.) *F*; *ἡδυπότους flgm.* — 24 *οἰνάδος gmk* (cf. 19, 260); *οἰνάδας LΩ.* — 25 *χάλις f*Ω*; *χάλιψ LPF Mf.* — *ἔνθά LPM*; *ἐνθά Ffl*; *ἔνθα Ω.* — 31 fol. 2v *Π.* — *υπο Π.* — 32 *δασπλ]ητα Π*; *δ' ἀσπλῆτα Ffl* (cr. *f**). — *αρπης Π.* — 33 *ορε[σσ]ινομοιο Π.* — 34 *θηγαλεωι δρεπανωι Π.* — *δεδαϊγμενον Π*; *δεδαιγμένον PFM*; *δεδεγμένον f* (cr. *f**). — 35 *ευκραιροιο Π.* — *χαλκωι Π.* — 36 *κεραελκεα Π*; *κερεαλκέα gm.* — 37 *οιαπερ Π.*

ὃς δὲ τανυκραίρων ἐλάφων ἐδίωκε γενέθλην
στικτῆς εἰσορόων πολυδαίδαλον εἶδος ὀπωπῆς,
οἷά τε Βασσαρίδων ὀλέκων στίχα· δαιδαλέαις γὰρ
νεβρίσιν ἰσοτύποισι παρεπλάγχθησαν ὀπωπαί·
καὶ φονίαις λιβάδεσσιν ὅλον θώρηκα μιαίνων
Ἰνδὸς ἀκοντιστῆρι μέλας ἐρυθαίνετο λύθρῳ.
καί τις ὁμοκλήσας ἐκορύσσετο γείτονι δένδρῳ
μαστίζων ἑκάτερθε, καὶ εἰαρινοῖσι δοκεύων
σειομένην ἀνέμοισι φυτῶν ἑλικώδεα χαίτην
ἁβροκόμων ὅρπηκας ἀπηλοίησε κορύμβων,
φύλλα διασχίζων λασίης δρυός, οἷα μαχαίρῃ
πλοχμὸν ἀκερσικόμοιο διατμήγων Διονύσου,
μαρνάμενος πετάλοισι καὶ οὐ Σατύροισιν ἐρίζων,
τερπωλὴν ἀνόνητον ἔχων σκιοειδέι νίκῃ.
μαίνετο δ' ἀντιβίων ἕτερος χορός· ἀντὶ δὲ λόγχης
ὃς μὲν ἑλὼν βαρύδουπον ἐπωμαδίῳ τελαμῶνι
τύμπανον ἠέρταξε, καὶ ἀμφιπλῆγι βοείῃ
δίζυγον ἐσμαράγησε μέλος χαλκόκροτον ἠχώ·
ὃς δὲ πολυτρήτοιο βοῇ δεδονημένος αὐλοῦ
ἄστατος εἰλικόεντι ποδῶν βακχεύετο παλμῷ·

38 γεν]εθλην Π. — 39 ο]πωπης Π. — 40 οιατε Π. — 41 .νεβρισιν sic Π (cf. ad 44; librarium hoc modo versus intermedios 42. 43 segregandos esse indicasse, ut putat C. F. W. Schmidt p. 318, parum verisimile). — οπωπαι Π. — 42 et 43 post 51 collocat m. — λιβαδε[σ]σιν Π. — θωρηκα Π; θωρακα Ff (cr. f*). — 43 λυθρω Π. — 44 .καιτις sic Π (cf. ad 41). — ὁμοκλήσας LΩ; ἀπειλησα[ς Π it., del.; ομοκλησα[ς Π ss. — δενδρω Π. — 45 εκ[ατε]ρθε Π. — δοκευῶ Π. — 46 αν[εμ]οισι Π. — 47 ορ[πηκ]ας Π; ὄρπηκας LΩ. — κορύμβων LΩ; κορυμβων Π; κορύμβω F; κορύμβῳ fl. — 48 φυλλα Π; φῦλλα fl. — λασίης L pc., Ω; λ]ασιης Π; λασίην L ac., PFM. — λασίῃσιν ὑπὸ δρυσί Callimach. h. Dian. 192. — 49 ἀκερσικόμοιο LΩ; ακ[... Π; ἀκερσεκόμοιο gmk. — 50 πεταλοισ[ι Π. — 51 ανοινητον Π ac. — εχ[ων Π. — 52 δ' αντιβιων ἑτερο[ς Π. — 53 επω[μα... Π. — 54 η]ερταξε Π. — 55 ε[σμαραγ]ησε Π. — 56 ος δ[ε Π. — 57 αστ[ατο]ς Π.

καί τις ἀπειρήτοις ἐπὶ χείλεσι λωτὸν ἐρείσας
δίθροον ἁρμονίην ἐμελίζετο Μυγδόνος αὐλοῦ·
γηραλέου δὲ φυτοῖο θορὼν παρὰ γείτονι ῥίζῃ
γλαυκὸν ἐυρραθάμιγγος ἀνείρυσε θαλλὸν ἐλαίης
ὄμβρῳ ἐερσήεντι διάβροχον, οἷα πιέζων
οἰνωπῇ ῥαθάμιγγι Μαρωνίδος ἄκρον ὑπήνης.
ἄλλοι σὺν ξιφέεσσι, σὺν ἔγχεσι, σὺν τρυφαλείαις
ἄσχετα βακχευθέντες ἀμερσινόῳ φρένας οἴνῳ
ὄργια μιμήσαντο φερεσσακέων Κορυβάντων,
ἴχνια δινεύοντες ἐνόπλιον ἀμφὶ χορείην·
καὶ παλάμης ἑλικηδὸν ἀμοιβαίῃσιν ἐρωαῖς
ἀσπίδες ἐκρούοντο κυβιστητῆρι σιδήρῳ·
ἄλλος ὀπιπεύων θιασώδεος ὄργια Μούσης
μιμηλὴν Σατύροισι συνεσκίρτησε χορείην·
καί τις ἀρασσομένης ἀίων κελάδημα βοείης
μείλιχον ἦθος ἔδεκτο, φιλοσμαράγῳ δὲ μενοινῇ
ῥιγεδανὴν ἀνέμοισιν ἑὴν ἔρριψε φαρέτρην,
λύσσαν ἔχων· ἕτερος δὲ γυναιμανέων πρόμος Ἰνδῶν

---

58 και τις [... Π. — ἐπὶ k; ἐνὶ LΩ; ἐνὶ F. — 59 διθροον [... Π. — 60 γηραλ[εου Π. — 61 ἀνείρυσε LΩ; ἀνήρυσε m: cf. ad 10. — 63 μαρωνίδος Lf*Ω; μαρωνύδος Ff. — 'si versus sanus est, suspicor excidisse praecedentem huiusmodi: οἷα πιέζων χερσὶν ἀφειδήσασι [ἀφειδούσῃσι g''] κατάρρυτον ἔνθα καὶ ἔνθα οἰνωπῇ ῥ.; si nihil deest, legendum tale quid: οἷα π. οἰνωπῇ ῥ. Μαρωνίδα σαπρὸν ὑπήνην' g*; 'lacunam esse patet, sed potius in medio versu' k*, indicans it. post ῥαθάμιγγι duorum hemistichiorum defectum. — ἄκρον ὑπήνης LΩ; ἄγγον ἀπήνης m; ἀσκὸν ἐέρσης k; ὁλκὸν ὑπήνης? cf. Lch[1] 131. — 64 α[λλοι Π. — 65 α[σχετα Π. — 66 φεριςσακέων LΩ; φορεσσακέων Ffl. — 68 παλάμης Rhodom., gmk; παλάμαις LΩ; πα[... Π. — 69 ασπιδ[ες Π. — 70 αλλος Π (ut 82. 36. 105. 116. 135); καί τις LΩ (ex 72). — ἐπιπεύων M. — 71 fol. 61r L, 53r P. — μιμηλη[ν Π. — 72 και τις α[... Π. — 73 μ[ειλιχον Π. — 74 fol. 2r Π. — ῥιγεδανὴν LΩ; ρειγεδανην Π; οὐτιδανὴν m. — 75 εχων ετερος Π. — ινδω̅ Π.

ἀπλεκέος πλοκαμῖδος ἑλὼν ὑψαύχενα Βάκχην,
παρθενικὴν ἀδάμαστον ἀτάσθαλον εἰς γάμον ἕλκων,
σφίγξεν ὑπὲρ δαπέδοιο, τανυσσάμενος δὲ κονίῃ
χερσὶν ἐρωμανέεσσιν ἀπεσφρηγίσσατο μίτρην,
ἐλπίδι μαψιδίῃ πεφορημένος· ἐξαπίνης γὰρ
ὄρθιος εἷρπε δράκων ὑποκόλπιος ἰξύι γείτων,
δυσμενέος δ' ἤιξε κατ' αὐχένος, ἀμφὶ δὲ δειρῇ
οὐραίαις ἑλίκεσσιν ἀνέπλεκε κυκλάδα μίτρην·
ταρβαλέοις δὲ πόδεσσι φυγὼν μελανόχροος ἀνὴρ
θερμὸν ἀνυμφεύτων ἀπεσείσατο κέντρον Ἐρώτων,
αὐχένιον φορέων ὀφιώδεος ὁρμὸν ἀκάνθης.
ὄφρα μὲν οἰνωθέντες ἐν οὔρεσιν ἔτρεχον Ἰνδοί,
τόφρα δὲ νήδυμος Ὕπνος ἑὸν πτερὸν οὖλον ἑλίξας
ἀκλινέων σφαλεροῖσιν ἐπέχραεν ὄμμασιν Ἰνδῶν,
εὔνασε δ' οἰστρηθέντας ἀμετρήτῳ νόον οἴνῳ,
Πασιθέης γενετῆρι χαριζόμενος Διονύσῳ·
ὧν ὁ μὲν ὕπτιος εὗδεν ἄνω νεύοντι προσώπῳ
ὑπναλέῳ μυκτῆρι μεθυσφαλὲς ἆσθμα τιταίνων,

---

76 *H* im. ante απλεκεος Π. — ἀπλακέος *FMfl*: cf. 14, 347. 48, 117. — πλοκαμιδος Π; πλοκαμίδος *Ffl*; πλοκαμῆδος *M*. — 77 ἀτάσθαλον *LΩ*; ατασθαλον Π; ἀτάσθαλος *g**. — ελκω̅ Π. — 78 ὗπερ Π; ὑπερ *F*. — τανυσσάμενος *LΩ* (-σσαμενος Π, τανυσάμενος *F*); τανυσσαμένης *k* ([1] 384) coll. 11, 505. 42, 67. — κονίῃ (-η) *LΩ*; κονιη ex κονειη cr. Π; κοινίῃ *M*. — μίτρην (μι- Π) *LΩ* (Schrader 90. Wernicke 117); μήτρην *l* (cr. *c*). — 80 γαρ ex δε cr. Π. — 81 ειρπε Π. — ἴξυϊ γειτω̅ Π. — 82 δ' ηι[ξε Π. —δειρη Π. — 83 ουρααις Π ac. — κυκλαδα (σε .... del.) μιτρην Π. — 84 ταρβαλεοις Π (cf. 20, 352); -λέοις *g*mk* ([1] 380); θαμβαλέοις *LΩ*. — ανηρ Π. — 85 κέντρον $L^2Ω$ (κεν- Π); κέντρων L^1F. — ερωτω̅ Π. — 86 φορέων *LΩ* (-εων Π); τρομέων *k*. — 87 οινωθεντες Π; οἰνω- *g*k*; οἰνηθέντες *LΩ*; οἰστρηθέντες *g** (ut 90). — 88 ϋπνος Π. — ου[λο]ν Π. — 89 ο[μμ]ασιν ϊνδω̅ Π. — 90 δ' οιστρηθεντας αμετρητωι ν[οον ο]ινωι Π. — 91 γε]νε[τη]ρι Π. — 92 ω[ν Π. — ὃ *gmk*; item 101. 104. — προσω[π]ωι Π: cf. 22, 377. 36, 226. — 93 ασθμα Π; ἄσθμα *LΩ*. — τι[τ]αινω̅ Π.

ὃς δὲ βαρυνομένην κεφαλὴν ἐπεθήκατο πέτρῳ,
νωθρὸς ἐυκροκάλῳ ποταμηίδι κείμενος ὄχθῃ,
ἠματίοις δ' ὀάριζε νοοπλανέεσσιν ὀνείροις
ὀρθὰ περὶ κροτάφοισι πεπηγότα δάκτυλα βάλλων·
πρηνὴς δ' ἄλλος ἔην τετανυσμένος, εἶχε δὲ δισσὴν
χεῖρα καθιεμένην ἰσοελκέα δίζυγι μηρῷ·
καί τις ἑῆς παλάμης κεφαλὴν ἐπερείσατο καρπῷ
οἶνον ἀναβλύζων· ὁ δὲ καμπύλα γυῖα συνάπτων,
ὡς ὄφις ἀμφιέλικτος, ἐκέκλιτο, λοξὸς ἰαύων.
καὶ χορὸς ἀντιβίων πεφορημένος εἰς ῥάχιν ὕλης,
ὃς μὲν ὑπὸ δρυὸς εὗδεν, ὁ δὲ πτελέης ὑπὸ θάμνῳ,
ἄλλος ἐπὶ πλευρῇσι πεσὼν ἐκλίνετο φηγῷ,
λαιὴν ὀφρυόεντι βαλὼν ἐπὶ χεῖρα μετώπῳ·
καὶ πολὺς ἑσμὸς ἴαυε λάλος νέκυς, ἠέρι πέμπων
ἀλλοίης ἀχάλινον ἀσημάντου θρόον ἠχοῦς
οἰνοβαρής· ἕτερος δὲ τιναϲσομένοιο καρήνου
γηραλέης πλατὺ νῶτον ἐπέτρεπε πυθμένι δάφνης·
τὸν δὲ βαρὺ κνώσσοντα βαθυστρώτων ἐπὶ λέκτρων
ἀκροκόμου φοίνικος ἢ εὐώδινος ἐλαίης
ῥιπίζων ἀνέμοισιν ἕλιξ ἐπεσύρισεν ὄρπηξ·
καί τις ὑπὲρ δαπέδοιο χυτῇ τετάνυστο κονίῃ,

---

94 πετρωι Π. — 95 νοθρὼς F; νοθρὸς Mfl. — ἐϋκροκάλλω F. — ο]χθη[ι Π; ὤχθη F. — 96 ὀάριζε LΩ; ὀάρξε M; ὀάριξε fl. — ονειροι[ς Π. — 97 πεπηγ]οτα Π. — 98 πρηνής L. — ειχε δ[ε Π. — 100 ἑῆς παλάμης gmk; ἐῆ παλάμη LF; ἐῇ παλάμῃ (-μη M) Pfl. — ἐπερείσατο Lf*Ω; ἐπερήσατο FMf. — 101 οἶνον LΩ (Rhodom.); οἷον FMf; οἷον l. — 104 ὁ δὲ L. — 105 πλευρῆσι LPM (cf. 10, 367. 22, 284. 302. 37, 209); πλευροῖσι FΩ. — 106 βαλλῶν F. — ἐπὶ Lk*Ω (Lehrs[1] 283); ἐπι M; ἔπι gmk. — μετόπω F. — 108 ἀχάλινον Lf*Ω; ἀχάνιον Ff. — 111 βαρὺ g*mk; βαθὺ LΩ. — κνώσοντα F. — βαθυστρώτων LΩ (cf. 20, 26); βαθυσ]τρω[των Π; βατιστρώτων m. — 112 ελαιη[ς Π; 'ἐλαίης?' k*; ἀθήνης LΩ. — 113 ἐπεσύρισεν fΩ; επεσυρι]σεν Π; ἐπεσύριζεν LPFM. — ορ[πηξ Π; ὄρπηξ LΩ. — 114 τετ]ανυστο Π (cf. 4, 416); κεκόνιστο LΩ; κεκύλιστο k ([1]384)

ἄκρα ποδῶν προχοῇσι κατακλύζων ποταμοῖο·
ἄλλος ἀπειρήτοιο μέθης βακχεύετο παλμῷ,
καὶ κεφαλὴν βαρύθουσαν ἐπέτρεπε γείτονι πεύκῃ·
ἄλλου φυσιόωντος ἐσείετο νεῦρα μετώπου.
καὶ δηίους κνώσσοντας ἰδὼν γελόωντι προσώπῳ
Βάκχος ἄναξ ἀγόρευε, χέων σημάντορα φωνήν·
„Ἰνδοφόνοι θεράποντες ἀνικήτου Διονύσου,
νόσφι μόθου σφίγξαντες ἀολλέας υἱέας Ἰνδῶν
πάντας ἀναιμάκτῳ ζωγρήσατε δηιοτῆτι·
καὶ βριαρῷ γόνυ δοῦλον ὑποκλίνας Διονύσῳ
Ἰνδὸς ὑποδρήσσειεν ἐμῇ θιασώδεϊ Ῥείῃ,
σείων οἴνοπα θύρσον, ἀπορρίψας δὲ θυέλλαις
ἀργυρέην κνημῖδα πόδας σφίγξειε κοθόρνοις,
καὶ κεφαλὴν στέψειεν ἐμῷ κισσώδεϊ δεσμῷ,
γυμνώσας πλοκαμῖδας ἀερσιλόφου τρυφαλείης,
καὶ πολέμων ἀλάλαγμα λιπὼν καὶ δούριον ἠχὼ
Εὔιον ἀείσειε κορυμβοφόρῳ Διονύσῳ.“
ὣς φαμένου δρηστῆρες ἐποίπνυον· ὧν ὁ μὲν αὐτῶν
αὐχένι δυσμενέων ὀφιώδεα δεσμὸν ἑλίξας

---

coll. 46, 276. 22, 236. — 115 κατακλυζ]ων π[οταμοι]ο *Π*. — 116 ἐβακχεύετο *Ff* (cr. *f**). — 117 fol. 3r *Π*. — γείτονι πεύκῃ (-η) *LΩ*; πυθμενι δαφ[νης (ex 110) *Π* it., del.; γειτονι [πευκηι *Π* ss. — 118 ante 116 posuit *m*. — μετωπου *Π*. — 119 δηι[ους *Π*; δῄους *LP* (sed v. Wernicke 165. Lch[1] 52); δήους *FMfl* (*m**). — γελοοντι *Π* ac. — προσωπω *Π*. — 120 αν[α]ξ *Π*. — paragraphum post h. vs. add. *Π*. — 121 ϊνδοφονοι *Π*. — 122 ϋιεας ϊνδων *Π*. — 123 αναιμακτω *Π*. — δηϊοτητι *Π*. — 124 βριαρωι *Π*; βρυαρῶ *F*; -ρῷ *f* (cr. *f**). — ϋποκλ(α del.)ιν[ας *Π*: cf. 17, 387. — 125 ϋποδρησσειεν *Π*; ὑποδρήσειεν *LPFMf* (cr. *f**). — 126 απορρι[ψας *Π*. — 127 αργυρεη *Π* ac. — κνημιδα *Π*; κνημίδα *Ffl*. — πόδας *LΩ* (Rhodom.); πο- *Π*; πόδος *PFMfl*. — 128 σ]τεψειεν *Π*; σφίγξειεν *LΩ* (ex 127). — δεσμωι *Π*. — 129 πλοκαμιδας *Π*; -μίδας *Ffl*. — 130 πολεμων *Π*; πτολέμων *LPFM fl*. — 131 ευϊον *Π*. — κορυ[μ]βοφορωι διονυσωι *Π*. — 132 ων ο *Π*; ὧν ὃ *gmk*. — 133 ο]φιωδεα *Π*.

εἷλκε δρακοντείῃ πεπεδημένον ἀνέρα σειρῇ,
ἄλλος ἑλὼν λασίης κεχαλασμένον ὁλκὸν ὑπήνης
ἄνδρα βαθυσμήριγγος ἀνείρυσεν ἀνθερεῶνος·
καί τις ἑὰς παλάμας τανύσας σκολιότριχι κόρσῃ
ἀνέρα δουρίκτητον ἀδέσμιον εἷλκεν ἐθείρης·
ἄλλος ὁμοπλέκτους παλάμας περὶ νῶτα καθάψας
δήιον εἱλικόεντι λύγων μιτρώσατο δεσμῷ
αὐχενίῳ· τρομερῷ δὲ Μάρων ἐλελίζετο παλμῷ
ὤμῳ γηραλέῳ βεβαρημένον Ἰνδὸν ἀείρων·
ἄλλος ἀκοντιστῆρα λαβὼν βεβιημένον ὕπνῳ,
δεσμῷ βοτρυόεντι περίπλοκον αὐχένα σύρων,
στικτῶν πορδαλίων ὑπὲρ ἄντυγα θήκατο δίφρων·
ἄλλου κεκλιμένοιο φιλεύιος ἑσμὸς ἀλήτης
χεῖρας ὀπισθοτόνους ἀλύτῳ σφηκώσατο δεσμῷ,
καὶ λοφίης ἐπέβησεν ἀκαμπτοπόδων ἐλεφάντων·
καὶ πολὺς εὐκύκλοιο λαβὼν τελαμῶνα βοείης

---

134 signum — im. ante h. vs. *Π*. — *ειλκε* ss, *σφιγξε* (del.) it. *Π*. — *σειρηι Π*. — 135 *ολκον ὑπηνη[ς Π*: cf. ad 63. — 136 *ανειρ[υσεν Π*. — 137 fol. 61v *L*, 53v *P*. — *σκολιο]τριχι Π*. — 138 *εἷλκεν LΩ*; *εἰ ἤλκεν* sic *F*; *ἤλκεν PM*. — *ἐθείρης gmk* (cf. 154); *ὑπήνης LΩ* (ex 135 ?); *υπ]ηνη[ς Π*. — 139 *ὁμοπλέκτους Lf**Ω*; ο[*μοπ*]*λεκτους Π*; *ὁμολέκτους F*; *ὁμωλέκτους f*. — *περὶ LΩ*; *ἐπὶ l*. — 140 *δηϊον Π*. — *εἱλικόεντι Lf**Ω* (*εἰ- M*); *ἠλικόεντι Ff*. — *λυγ[ων Π* (Schubart); *λῦγων*, sed *γ* litterae *ν* haud absimilis *L*; *λύνων PM*; *λίνων FΩ*. — 141 *αυχεν[ιωι Π*; *αὐχενίω* (λ supra) *PM*. — *τρ]ομερωι Π*. — 142 *ὤμῳ γηραλέῳ* Wilamowitz; *ωμ[.....]εω Π*; *ὠμωτῆρα νέω LP*; *ὁμωτῆρα νέω M*; *ὠμοτῆρα ἠνέω F*; *ὠμητῆρα νέῳ f*; *ἀμητῆρα νόῳ f***l*; *ὠμηστῆρα, νόῳ g* (v. Lehrs [1] 306); *οἰνυβαρὴς οἴνῳ m*; *οἴνῳ ἀμερσινόῳ k*. — 143 .*α* im. ante *αλ[λος Π*. — post h. vs. sequebatur in *Π* alius a *δηρ* incipiens et sub finem litteras *δεσ[...* continens, qui nunc deletus et unco inclusus est; insuper corrector tribus versibus vicinis numeros *α β γ* apposuit; versus spurius ex 140 videtur fluxisse. — 144 *β* im. ante *δεσμ[ωι Π*. — 145 *γ* im. ante *στικ[των Π*. — 146 *αλλου Π*. — *ἀλήτης LP*. — 147 *χειρας Π*. — *σφηκώσατο*, sed *σφ* pc. *L*. — 148 *και λο[Π*. — *λοφίης LΩ* (Rhodom.); *λοφίης fl*. — 149 *πολὺς Lf**Ω*; *πολοῖς Ff*.

Ἰνδὸν ἐπωμαδίῳ πεπεδημένον εἶχεν ἱμάντι.
καί τις ἀερτάζουσα καλαύροπα μηλοβοτῆρος
Βασσαρίς, ἀφριόωσα λαθίφρονι κύματι λύσσης,
Ἰνδὸν ἐρευνητῆρα βαθυπλούτοιο θαλάσσης
τολμηρῇ παλάμῃ πολυκαμπέος εἷλκεν ἐθείρης
δούλιον εἰς ζυγόδεσμον. ἐπειγομένου δὲ Λυαίου
δήιον εὐθώρηκα σιδήρεος εἶχεν Ἐρεχθεὺς
ὤμοις ἀκλινέεσσι· μεθυσφαλέος δὲ φορῆος
θῆρα κελαινόρρινον ὀρεστιὰς ἤλασε Βάκχη,
ἰσχία μαστίζουσα δορικτήτων ἐλεφάντων·
καὶ χρυσέην Ὑμέναιος ἀνηέρταζε βοείην
ἀνέρα συλήσας χρυσάσπιδα, γηθόσυνος δὲ
κοῦρον ἐρωμανέεσσιν ἐδέρκετο Βάκχος ὀπωπαῖς
τεύχεσιν ὑπναλέοιο καταυγάζοντα φορῆος·
καὶ νέος ἠκόντιζεν ἐν ἔντεσιν ὄλβιον αἴγλην,
ὡς Λυκίου Γλαύκοιο λαβὼν ἀμάρυσσε μαχηταῖς,
ἀφνειοῖς σακέεσσιν ἀπαστράπτων, Διομήδης.
ἄλλους δ' ἀντιβίους στρατιὴ ληίσσατο Βάκχων,
νήδυμον ὕπνον ἔχοντας ὁμόστολον ἡδέος οἴνου.

---

150 εἶχεν *LΩ*; εἷλκεν *g*k* (cf. 154. 156). — ἡμάντι *F*. — 152 λύσσης *Lf*Ω*; λύσις *Ff*. — 155 εἰς *k*; ἐς *LΩ*. — 156 δη[ιον *Π*. — εἶχεν *LΩ*; εἷλκεν Scaliger, *m*. — 157 ωμ[οις *Π*. — 158 θη[ρα *Π*. — θῆρα κελαινόρρινον Opp. Hal. V 18. — κιλαιρόρρινον *L* ac. — ὀρεστιᾶς *F*. — βάκχη *Lf*Ω*; βάκχου *PFMf*. — 159 ἰσχία *Lf*Ω*; ισ[χια *Π*; ἰσχύα *Ff*. — 160 κα[ι *Π*. — 161 γηθόσυνος] v. Lehrs² 124. 148. — 162 fol. 3ᵛ *Π*. — εδερκετο *Π*. — 163 ϋπναλεοιο *Π*. — καταυγάζοντα *LΩ* (-γαζοντα *Π*); καταιγίζοντα Scaliger — 164 εντεσιν ολ[βιο]ν *Π*. — 165 γλυκίου *l*. — Γλαύκοιο *f*Ω*; γλαυκοιο *Π*; βάκχοιο *LPMF²fl*; βακχΐων *F¹*. — αμαρυσσε *Π*; ἀμάρυσε *MF¹* (cr. *F³*); ἀμάρησε *fl* (cr. *f**). — μαχηταις ex μαχητας cr. *Π*; μαχηταῖς *k*; μαχητὰς *LΩ* (-τᾶς *F*). — 166 αφνειοις *Π*. — 167 δ' αντιβιους *Π*. — στρατιη *Π*; -ῆ *F*; -ῇ *f* (cr. *f**). — ληΐσσατο *Π*; ληίσατο *F* ac. — βακχων *Π*; βακχῶν anon. Regim. — 168 ϋπνον — η]δε[ο]ς *Π*.

ἔνθά τις ἀγκυλότοξος, ἐρημάδι σύννομος ὕλῃ,
παρθένος Ἀστακίδεσσιν ὁμότροφος ἤνθεε Νύμφαις
καλλιφυὴς Νίκαια, λαγωβόλος Ἄρτεμις ἄλλη,
ἀλλοτρίη φιλότητος, ἀπειρήτη Κυθερείης,
θῆρας οἰστεύουσα καὶ ἰχνεύουσα κολώναις·
οὐδὲ μυχῷ θυόεντι καλύπτετο παρθενεῶνος.
καί οἱ ἐνὶ σκοπέλοισιν ἐρημονόμῳ παρὰ πέζῃ
ἠλακάτη πέλε τόξον, ἀεὶ δέ οἱ ἔνδοθι λόχμης
μηκεδανοὶ κλωστῆρες ἔσαν πτερόεντες ὀιστοί,
καὶ σταλίκων ξύλον ὀρθὸν ὀρειάδος ἱστὸς Ἀθήνης·
καὶ καθαρῇ συνάεθλος ὁμίλεεν ἰοχεαίρῃ,
καὶ λίνον ἐν σκοπέλοισιν ἀνέπλεκεν ἠθάδος ἄγρης
νήματος ἀσκητοῖο φιλαίτερον· οὔ ποτε τόξῳ
ποικίλον εἶδος ἔχοντος ἀνάλκιδος ἥπτετο νεβροῦ,
δορκάδας οὐκ ἐδίωκε, καὶ οὐκ ἔψαυε λαγωοῦ,
ἀλλὰ περιζεύξασα δαφοινήεντι χαλινῷ
γλαυκὰ δασυστέρνων ἐπεμάστιε νῶτα λεόντων,

---

169 ἔνθά *LP*; ενθα *Π*; ἐνθά *FMfl*; ἔνθα *Ω*. — συν]νομος υλη *Π*. — 170 ασταχ[ιδεσσιν *Π*. — νύμφαις *Lg** (^{1}27) *mk*; νυμφαις *Π*; νύμφου *P*F^1*M*; νύμφη F^2*flg*. — 171 νίκαια L^2 im. — νικα[ια *Π*. — 172 αλλοτριη *Π*. — ἀπειρήτη *Lf* Ω* (Graefe ^{1} 27); ἀπηρήτη *Ff*. — κυθερίης F^1 (cr. F^2). — 173 ·θηρας (sic) οϊστευουσα *Π*. — κολώναις *LΩ*; κολώνας sic *Π*. — 174 μυ[χ]ω *Π*. — παρθενεῶνος *f* Ω*; -θε[ν]εωνος *Π*; παρθενεῶνα, sed να paulo obscurius *L*, *PFMf*. — 175 και *Π*; καὶ *Mf*. — ἐνὶ *F*. — σκοπέλοισιν L^2 ss., cum γρ' *PM*, *f*g* (^{1}27) *mk*; σκοπελ- *Π*; σκολόπεσσιν it. L^1*PFMfl*. — ϝ[ρ]ημονομω *Π*. — παρα *F*. — πέζῃ *PFMflg* (defend. Lobeck ^{4} 313. Wilamowitz); πεζηι *Π*; πέζη *L*; πέτρῃ *g*mk*. — 176 α]ει δε οι ενδοθι ss. pc., εσαν δε οι εγγυθι (partim ex 177) it. ac. *Π*; ἀειδέος ἔνδοθι *LPFM flgmk* ('suspectum' *k**, cf. Lch ^{1} 107). — 177 ἔσαν *LΩ*; εσαν ss. pc., αελλησ[it. ac. *Π*. — 178 ορειαδ[ος *Π*. — 179 καθ]αρῃ *Π*. — ο]μειλεεν *Π*. — 180 α]νεπλεκ[εν *Π*. — 181 α]σκητ[οιο *Π*. — τόξῳ scripsi; τόξω *LPM*; τόξον *FΩ* (Wilamowitz). — 182 ει]δος εχ[οντος *Π*. — 183 ο]υκ εδ[ιωκε *Π*. — ἔψαυε *Pg* (^{1}28) *mk*; ἔψαυσε *LΩ*. — 184 χαλινω ex χαλεινω cr. *Π*. — 185 νωτα λεοντ[ων *Π*.

πολλάκι δ' ἔγχος ἄειρε καταντία λυσσάδος ἄρκτου·
μέμφετο δ' Ἰοχέαιραν ἐκηβόλον, ὅττι λιποῦσα
στικτῶν πορδαλίων γενεὴν καὶ φῦλα λεόντων
οὐτιδαναῖς ἐλάφοισιν ἑὴν ἔζευξεν ἀπήνην.
οὐδὲ μύρῳ μεμέλητο, μελικρήτων δὲ κυπέλλων
ὑδατόεν προβέβουλε χαραδραίης πόμα πηγῆς
ψυχρὸν ὕδωρ προχέουσα· καὶ αὐτορόφῳ κενεῶνι
κούρης δύσβατος οἶκος ἐρημάδες ἦσαν ἐρίπναι·
πολλάκι δ' εὐκαμάτοιο μετὰ δρόμον ἠθάδος ἄγρης
πορδαλίων σχεδὸν ἧστο, μιῇ δ' ὑπὸ κοιλάδι πέτρῃ
μίμνε μεσημβρίζουσα λεχωίδος ἄγχι λεαίνης·
ἡ δὲ γαληναίῃσιν ὑπ' ὀφρύσι μειλιχίῃ θὴρ
ἀδρύπτοις γενύεσσι δέμας λιχμάζετο κούρης,
καὶ κινυρῆς μίμημα κυνὸς δειδήμονι λαιμῷ
ὠμοτόκου στόμα λάβρον ὑπεκνυζᾶτο λεαίνης
χείλεϊ φειδομένῳ, δοκέων δέ μιν Ἄρτεμιν εἶναι
εἰς πέδον ἱκεσίοιο καθελκομένοιο καρήνου
αὐχένι λαχνήεντι λέων ἐκλίνετο νύμφῃ.
καί τις ἐνὶ ξυλόχοις ὀρεσίτροφος ἤνθεε βούτης,
ἰθυτενής, περίμετρος, ὑπέρτερος ἥλικος ἥβης·
οὔνομά οἱ πέλεν Ὕμνος, ὃς ἀγριάδος μέσον ὕλης

186]ε̣αειρ[ε Π. — 187 ιοχ]εαιρα[ν Π. — 188 στικτῶν LPMk (cf. 145); στικτὸν Ffl; στικτὴν g ([1] 28) m. — πορδαλι]ων Π. — φῦλα Ffl. — 189 ελαφο]ισι[ν Π. — 192 προχέουσα LΩ; ῥοφέουσα Wakefield IV 48; ποθέουσα k. — 193 ἐρημάδες L[2]PΩ; ἐρημάδος L[1]. — 194 εὐκαμάτοιο] v. 5, 483 et Graefe[1] 28. — 197 ἣ gmk. — μειλιχίη] v. Lobeck[4] 75. — 198 κούρης Lg* ([1] 28) Ω (ut 6, 162); κου̃ F; κούρῃ flg. — 199 κινυρῆς LPM; κινυροῦ F[2]Ω; κινυρσο sic F[1]. — δειδήμονι Lf*Ω; δεϊδήμονι (ε pc. ?) F; διϊδήμονι f. — 200 ὠμοτόκος m (cf. Ruhnken[2] 171. Graefe[1] 28). — λάρον m. — ὑπεκνυζᾶτο f*Ω; ὑπεκνύζατο LPFMf; ὑπεκνιξᾶτο m (cr. m*). — λεαίνη m. — 203 fol. 62[r] L, 64[r] P. — 205 ἰθυτενὴς LΩ (Rhodom.); ἠθυτενὴς PFMfl. — 206 fol. 4[v] Π. — ὕμνος L[2]PM im. — οὔνομα Ff. — ὕλης Π.

ἱμερτὰς ἐνόμευε βόας παρὰ γείτονι κούρῃ·
καὶ νομίην ἐρατῇσι καλαύροπα χερσὶ τινάσσων
εἰς βαθὺν ἦλθεν ἔρωτα καὶ οὐκέτι τέρπετο ποίμνῃ,
εἴκελος Ἀγχίσῃ ῥοδοειδέι, τοῦ ποτε Κύπρις
ἀργεννὴν ἐνόμευεν ὀρεσσινόμων στίχα ταύρων
κεστὸν ἐλαφρίζουσα βοοσσόον· ἀμφὶ δὲ λόχμην
βουκόλος ἀγρώσσουσαν ἰδὼν χιονώδεα κούρην
οὐ βοέης ἀγέλης ἐμπάζετο· φοιταλέη δὲ
εἰς ἕλος αὐτοκέλευστος ἐβόσκετο πόρτις ἐρήμη
ἀρχαίου δυσέρωτος ἀποπλαγχθεῖσα νομῆος,
καὶ δαμάλη πεφόρητο περισκαίρουσα κολώναις
ποιμένα μαστεύουσα· νέος δ' ἐπλάζετο βούτης
παρθενικῆς δρόων ῥοδοειδέα κύκλα προσώπου.
καὶ δολόεις ἐρέθιζεν Ἔρως ποθέοντα νομῆα
οἴστρῳ λαβροτέρῳ δεδονημένον· ἐν σκοπέλοις γὰρ
παρθενικῆς ἀκίχητον ἐπεσσυμένης δρόμον ἄγρης
πέπλον ὅλον κόλπωσεν ἐς ἠέρα κοῦφος ἀήτης·
καὶ χροὸς ἤνθεε κάλλος· ἐλευκαίνοντο δὲ μηροὶ

---

207 κουρη Π. — 208 νομίην g (^{1}29) mk, et fort. habebat Π; νομίην δ' LΩ. — ε]ρατ[ησι Π; ἐρατῆσιν F. — τινασσω̄ Π. — 209 βαθυν Π; βαθὴν F. — ου[κε]τι Π; οὐκ ἔτι Ffl. — ποιμνηι Π (cf. 265); ποίμναις LFf*Ω; ποίμνας f. — 210 εἴκελος gmk; εικ- Π; ἴκελος LΩ; ἴκ- f. — αγχισηι ροδοειδεϊ Π. — ποτὲ gm. — 211 ενομευ[εν Π. — τ]αύρω̄ Π. — 212 κεστὸν LΩ (-ον Π); 'ne quis κέντρον coniiciat, Venus flagelli loco ipso cesto usa videtur' k*. — λοχ]μη̄ Π; λόχμῃ LΩ. — 213 αγρωσσ[ουσαν Π. — 214 αγελης ε[μπαζετο Π. — 215 αὐτοκέλευστος L F^{2}f*Ω; αυτοκελευ[στος Π; αὐτοκέλαστος F^{1}f. — ἐρήμη LΩ; ἐρήμῳ fl; ἔρημον Rhodom., g (^{1}29) m (v. autem Lch^3 447). — 216 αρχαιου Π; ἀγχαίου L^1 (cr. L^2). — ἀπυπλαχθεῖσα Ffl. — 217 κολώναις LPFMk; κολώνας fΩ (Wilamowitz). — 218 ποιμενα ex ποιμαινα cr. Π. — 219 ορο[ων Π. — 220 ε]ρεθι[ζεν Π. — 221 οιστρω λαβροτερω[Π. — σκοπέλοις LPM; σκοπ^{λ}έ F; σκοπέλῳ fΩ. — 222 ακιχητ[ον Π. — ἄγρης LΩ; αὔρης g* (^{1}30) coll. 6, 117. — 223 κολπ[ω]σεν Π. — 224 χροος Π; χρόος FMfl.

καὶ σφυρὰ φοινίσσοντο, καὶ ὡς κρίνον, ὡς ἀνεμώνη
χιονέων μελέων ῥοδόεις ἀνεφαίνετο λειμών·
καὶ νέος ἱμερόφοιτος ἔχων ἀκόρητον ὀπωπὴν
ἀσκεπέων ἐδόκευεν ἐλεύθερον ἄντυγα μηρῶν
[. . . . .]χωδεα [. . .
βότρυν ὀπισθοπόροιο κόμης ἐλέλιξεν ἀήτης
κουφίζων ἑκάτερθεν, ἀειρομένων δὲ κομάων
λευκοφαὴς σελάγιζε μέσος γυμνούμενος αὐχήν.
καὶ νέος οὐρεσίφοιτος ὁμάρτεε πολλάκι κούρῃ,
πῇ μὲν ἐπιψαύων σταλίκων ἢ τόξον ἀφάσσων,
πῇ δὲ ποθοβλήτοιο τιταινομένοιο βελέμνου
ἱμερτῆς ἐδόκευε ῥοδόχροα δάκτυλα κούρης·
εἴ ποτε τοξεύουσα κέρας κυκλώσατο νευρῇ,
καὶ παλάμη γυμνοῦτο, λαθὼν νέος ὄμματι λοξῷ
λευκὸν ὀιστευτῆρα βραχίονα δέρκετο κούρης,
ὄμμα παλινδίνητον ἄγων, ὀχετηγὸν Ἐρώτων,
εἰ τόσον, ὡς Νίκαια, πέλεν λευκώλενος Ἥρη·

---

225 φοινισ[σοντο *Π*. — 226 χιονέων *LΩ*; χειονέων (διχ[... ss.; inferius del.) *Π*; fortasse correctori obversabatur 4, 131 δίχροα χιονέων ἀμαρύσσεται ἴχνια ταρσῶν vel tale quid. — με[λ]εων *Π*. — 227 et 228 post 231 collocandos esse ci. Graefe[1] 30. — γρ' „καὶ νέος ἱμερόφοιτος ἔχων ἀκόρητον ὀπωπὴν" *L* (m. 1) im., itaque *Ω* (nisi quod ἡμερόφοιτος *Ff lgm*, defendente Graefio[1] 30, em. *g*k*; ἀκώρητον *F*); καὶ (ss. γρ') νέος ἱμερόεντι πόθῳ δεδονημένος ἦτορ *L* it. (sed vocabulo ἦτορ Nonnus abstinuit, v. Tiedke[1] 45); utramque lectionem miscens και νεος ϊμ[ε]ροεν[τι ποθωι ακο]ρητ[ον οπωπην] *Π*. — 228 ασκεπ]εων ε[δο]κευ[εν *Π*. — μηρῶν *LΩ*; 'exspectes fort. μαζῶν; sed nihil est mutandum' *g** (cf. [1]30). — 229 vestigia servavit *Π*; om. *LΩ*; 'excidit aliquid' Herm. — 230 βότρυν *LΩ*; π[υθ]μεν ac., [βοτρυ]ν pc. *Π*. — ὀπισθοπόροιο *FM*. — ἐλέλαιξεν *Lgm*; ἐλέλυξεν *PM*; ἐλέλιξεν *Fflk* (Wilamowitz). — ἀήτης *LΩ* (paulo obscurius *P*); ἀήττης *F* ac.; nihil nisi ἀ: *M*. — 231 κου[φ]ιζ[ων *Π*. — 232 λευκοφαὴς *g* ([1]30) *mk*; λευκοφυὴς *L Ω* (λε[. . . *Π*). — 233 και[ι *Π*. — 234 π[ηι *Π*. — 235 ποθόβλητος Graefe[1] 47 et Moser[2] 707. — 241 λευκώλενος *LF[1]f*Ω* (ex Hom. *A* 55); λευκώνερος *F[1]f*.

Ἑσπερίην δ' ἐπὶ πέζαν ἑὴν ἐτίταινεν ὀπωπήν,
εἰ πλέον ἀργυφέη πέλε παρθένος, ἠὲ Σελήνη.
καὶ νέος, ἀμφιέπων ὑποκάρδιον ἕλκος Ἐρώτων,
ἐγγὺς ἐὼν καὶ νόσφιν ἐὼν ἐμνώετο κούρης,
πῶς βέλος εἰς σκοπὸν εἷλκεν ὀρειάδος ἀντίον ἄρκτου,
πῶς δὲ λεοντείῃ παλάμην ἐσφίγξατο δειρῇ
δίζυγα γυρώσασα βραχίονα μάρτυρι δεσμῷ,
πῶς πάλιν ἱδρώουσα λοέσσατο χεύματι πηγῆς
ἡμιφανής, καὶ μᾶλλον ἀεὶ μιμνήσκετο πέπλου,
ὁππότε μιν δονέων καὶ ἐς ὀμφαλὸν ἄχρις ἀείρων
γυμνώσας χροὸς ἄνθος ἀνηκόντιζεν ἀήτης·
κείνου μνῆστιν ἔχων γλυκερὰς ἱκέτευεν ἀέλλας,
ὄφρα πάλιν βαθύκολπον ἀναστείλωσι χιτῶνα.
καὶ νέος ἀστήρικτος ἐυκραίρῳ παρὰ ποίμνῃ
γείτονα θηρεύουσαν ἰδὼν ὑψαύχενα κούρην
τοῖον ἀπερροίβδησεν ἔπος ζηλήμονι φωνῇ·
„αἴθε βέλος γενόμην ἢ δίκτυον ἠὲ φαρέτρη,
αἴθε βέλος γενόμην θηροκτόνον, ὄφρά με γυμναῖς
χερσὶν ἐλαφρίσσειεν· ὀπισθοτόνοιο δὲ τόξου

243 ει πλε[ον Π. — 244 om. Π. — ἔχων ὑποκάρδιον ἕλκος Theocr. XI 15. — 245 εγγυς ε[ων Π. — ἐὼν F. — 246 πως βε[λος Π. — 247 πως δε [... Π. — λεοντείῃ LPg* (¹ 31) k; λεοντείη M; λεοντείην F (ει in ϊ cr. F²) flgm. — παλάμην L PFMflg*k; παλάμαις gm. — δειρῇ Lg*Ω; δειρήν gm. — 248 δι]ζυγ[α Π. — γυρώσασα Koch¹ 174 (ex Opp. Hal. IV 168 ἐπ' αὐχένι πάννυχα δεσμὰ ἀργεννοῖς ἑκάτερθε βραχίοσι γυρώσασα); γυμνώσασα LΩ (cf. 252). — 250 fol 4ʳ Π. — ημιφανης· Π. — καὶ LΩ; ο δε it., και ss. Π (ὁ δὲ praefert Wilamowitz; sed μιμνήσκετο et 245 ἐμνώετο coniunguntur). — 251 μιν Π pc., LΩ; μεν Π ac. — 252 ανθο[ς Π. — 253 μνῆστιν LF²f*Ω (μνη- Π); μύστην Ff. — ϊκετευεν Π. — 254 β[α]θυκο[λπον Π. — 255 ἀστήρικτος LΩ; αστη[... ss., ουρε[σιφοιτος it. Π. — ευκραιρω Π. — 256 θηρε[υουσαν Π. — 257 φωνη Π. — post h. vs. paragraphus Π. — 258 φ]αρετρη Π. — 259 ὄφρά LPFMf; ὄφρα Ω. — με om. it., ss. PM. — γυμναις Π. — 260 ἐλαφρίσσειεν gmk; ἐλαφρίσειεν LΩ; ελα]φριζει[εν Π.

εἴην νεῦρα βόεια πολὺ πλέον, ὄφρά με μαζῷ
χιονέῳ πελάσειε σαόφρονος ἔκτοθι μίτρης,
ναὶ δαμάλη, ναὶ μόσχε, σαόφρονος ἔκτοθι μίτρης.
παρθένε, κουφίζεις βέλος ὄλβιον· ὑμέτεροι δὲ
Ὕμνου μηλονόμοιο μακάρτεροί εἰσιν ὀιστοί,
ὅττι τεῶν ψαύουσιν ἐρωτοτόκων παλαμάων.
σοῖς γλυκεροῖς σταλίκεσσιν ἀφωνήτοισι μεγαίρω·
οὐδὲ μόνον σταλίκων με φέρει πόθος· ἀλλὰ καὶ αὐτοῦ
ζῆλον ἔχω τόξοιο καὶ ἀπνεύστοιο φαρέτρης.
αἴθε μεσημβρίζουσα ποθοβλήτῳ παρὰ πηγῇ
γυῖα καταψύξειεν, ἴδω δ' ὑψαύχενα κούρην,
ναὶ δαμάλη, ναὶ μόσχε, δίχα φθονεροῖο χιτῶνος.
οὔ πώ μοι, Κυθέρεια, τόσην ᾤκτειρας ἀνάγκην;
Θρινακίην οὐκ οἶδα καὶ οὐ κεραελκέα ποίμνην,
οὐ βόας Ἠελίοιο κατ' οὔρεα ταῦτα νομεύω,
οὐ κρυφίην ἤγγειλε πατὴρ ἐμὸς Ἄρεος εὐνήν.

---

261 εἴην $L^2\Omega$ (ει]ην Π); εἴη L^1. — νεύρα *Ffl*. — πολῦ (-ὺ cr. F^2) πλέον *F*; πολυπλέον *f* (cr. *f**). — ὕφρα Ω. — μα]ζω Π. — 262 χιονέῳ (-ω *L*) Ω (Graefe[1] 32); χέιον[... Π; χειονέων *Ffl*. — 263 ναι δ[αμαλ]η ναι Π. — 264 κουφίζεις $LF^2f^*\Omega$; κου]φιζεις Π; κουφίζη *PM*; κουφίζει F^1f. — δε Π; γὰρ *L*Ω. — 265 μελονόμοιο F^1 (cr. F^2): cf. 286. — μακάρτεροι εἰσὶν *FMf*. — οϊστοι Π. — 266 π]αλ[αμ]αων Π. — 267 γλυ[κεροις Π. — 268 οὐδὲ μόνον *LPM*; οὐδὲ μόνων *F*Ω; [...] μουν[... Π. — πόθος· ἀλλὰ καὶ αὐτοῦ *L*Ω;]οθονισ αλλα και αυτου Π. — 269 ζηλ]ον ε[χω Π. — 270 fol. 62v *L*, 54v *P*. — 270—272 ante 264 posuit *m*. — πηγ]ηι Π. — 271 καταψύξειεν $F^2f\Omega$; καταψήξειεν LPF^1M — ιδω Π. — 272 ναι] μοσ[χε Π. — 273 'versus suspectus, vulgo sine interrogatione accipitur' *g**. — οὔ πω μοι *LP*Ω (οὔπο μοι *M*); πῆ, πῆ μοι *g**; πῆ μοι, πῆ *m*; πῆ ποτέ μοι *k*. — κυθερει]α τοση[ν Π. — ᾤκτειρας *gm*; ὤκτειρας *L*Ω; ἤγειρας *g*k*. — 274 θρινακίην *Lf**Ω; θρηνακίην *Ff*. — infra litteras α τοσ superioris versus in Π leguntur ατιβ, quae utrum ex varia lectione (pro καὶ οὐ κερ.) an ex novo versu remanserint prorsus incertum; nam inde usque ad vs. 385 omnia quae Π olim habebat, amissa sunt. — κερεαλκέα *gm*.

παρθένε, μή με δίωκε, καὶ εἰ βόας εἰς νομὸν ἕλκω·
οὐρανίων λεχέων ἐπιβήτορές εἰσι νομῆες·
Τιθωνὸς ῥοδόεις πέλε νυμφίος, ὃν διὰ μορφὴν
δίφρον ἑὸν στήσασα φαεσφόρος ἥρπασεν Ἠώς·
καὶ Διὸς οἰνοχόος πέλε βουκόλος, ὃν διὰ κάλλος
φειδομένοις ὀνύχεσσιν ἐκούφισεν ὑψιπέτης Ζεύς.
δεῦρο, βόας ποίμαινε, καὶ ὁπλοτέρην σε καλέσσω
ἄλλῳ βουκολέοντι σὺν Ἐνδυμίωνι Σελήνην·
ῥῖπτε βέλος καὶ ψαῦε καλαύροπος, ὄφρά τις εἴπῃ·
‹Ὕμνου μηλονόμοιο βόας Κυθέρεια νομεύει›.«
ὣς φάτο καὶ λιτάνευε, φίλων δ' ἐδράξατο γούνων
χερσὶ γυναιμανέεσσι, καὶ ἕσπετο, καί οἱ ἐνίψαι
ἔτρεμεν οἶστρον Ἔρωτος, ἑῇ δ' ὑπεμέμφετο σιγῇ.
καί ποτε θάρσος ἔχων γαμίων ὑποεργὸν Ἐρώτων
κείμενα Νικαίης ἀνεκούφισεν ἔντεα θήρης,
καὶ δόρυ θοῦρον ἄειρε, πόθου δ' ὑπὸ μείζονι κέντρῳ
κούρης χωομένης γλυκερὴν ἤειρε φαρέτρην,
καὶ κύσε δίκτυα κωφὰ καὶ οὐ πνείοντας ὀιστούς,
χείλεσι τερπομένοισι μιαιφόνον ἰὸν ἐρείσας,
καὶ στέρνοις ἐπέλασσεν ἀφειδέι χειρὶ πιέζων·
καί τινα μῦθον ἔειπεν ἀδουπήτῳ τινὶ φωνῇ·

---

277 *δίωκε L* pc., *PgΩ*; *βίωκε L* ac.; *διῶθε* Graefe[1] 33: 'vid. 16, 297' *k**. — 278 *ἐπιβήτορες εἰσὶ Ff*. — 279 *πέλε νυμφίος*, sed *ς* ex *ν* cr. *L*, *PΩ* (defend. Tiedke[11] 7 coll. 307. 44, 305. 48, 665. al.); *πέλε βουκόλος* ex 281 *g* ([1] 33, ubi etiam de *νόμιος πέλεν* cogitavit postea a Koechlyo[1] 408 iterum proposito et in textum recepto). — 280 *εἴρπασεν P*. — *ἠώς LFf*. — 281 *κάλλος LΩ* (Hom. *λ* 282 *γῆμεν ἑὸν διὰ κάλλος* cf. *k**); *κάλλους* Struve 21. — 282 *φειδομένοις Lg* ([1] 34) *Ω*; *φειδομένης F*; *-νης fl*. — 285 *ῥῖπτε gmk*; *ῥίπτε LΩ*. — *ὄφρά PFMf*; *ὄφρα* (*L*?) *Ω*. — 288 *καὶ οἱ FMf*. — *ἐνίψαι L* (Cun.) *Ω*; *ἐνίψα F[1]M*; *ἐνίψας F[2]fl*. — 290 *καί ποτε LΩ*; *καὶ τότε l*. — *ὑποεργὸν LF[2]Ω*; *ὑπὸ ἐργῶν F[1]*. — 294 *κύσε LF[2]Ω*; *κεῖσε F[1]*. — *κωφὰ g* ([1] 34) *mk*. — 297 *μύθων F[1]*; *μύθον F[2]fl*.

„πρὸς Παφίης, φθέγξασθε πάλιν, δρύες, ὡς ἐπὶ Πύρρης,
ὡς ἐπὶ Δευκαλίωνος, ἐλέγξατε λυσσάδα κούρην.
Δάφνη καὶ σὺ φίλη, δενδρώδεα ῥῆξον ἰωήν·
αἴθε καλὴ Νίκαια πάρος πέλε, καί κεν Ἀπόλλων
ἀβροτέρην ἐδίωκε, καὶ οὐ φυτὸν ἔπλετο Δάφνη."
ὣς φάτο· καὶ σύριγγι σαόφρονος ἐγγύθι κούρης
μάρτυν ἑῆς ὀδύνης, γαμίην ἐμελίζετο μολπήν.
παρθενικὴ δ' ἀγόρευεν ἐπεγγελόωσα νομῆι·
„ἡδὺς ὁ συρίζων Παφίης μέλος ὑμέτερος Πάν·
πολλάκι μέλψεν Ἔρωτα καὶ οὐ πέλε νυμφίος Ἠχοῦς.
ἆ πόσα Δάφνις ἄειδεν ὁ βουκόλος· ἀμφὶ δὲ μολπῇ
παρθένος ἀστιβέεσσιν ἐκεύθετο μᾶλλον ἐρίπναις
ποιμενίης φεύγουσα βοῆς μέλος. ἆ πόσα Φοίβου
ἔκλυε μελπομένοιο καὶ οὐ φρένα θέλγετο Δάφνη."
ὣς φαμένη δόρυ θοῦρον ἐδείκνυεν ἄφρονι βούτῃ.
αὐτὰρ ὁ λυσσήεντι τετυμμένος ἡδέι κέντρῳ,
μὴ νοέων, ὅτι τόσσον ἔην ἄστοργος Ἀμαζών,
πομπὸν ἑοῦ θανάτοιο δυσίμερον ἴαχε φωνήν·
„ναί, λίτομαι, προΐαλλε φίλον δόρυ, χιονέῃ δὲ
κτεῖνέ με σῇ παλάμῃ, καὶ τέρπομαι· οὐ σέο λόγχην,
οὐ τρομέω, φυγόδεμνε, τεὸν ξίφος, ὅττι τελευτὴν
ὀξυτάτην ὀπάσειεν, ὅπως ποτὲ πικρὸν ἀλύξω

---

300 *καὶ Δάφνη σὺ φίλη* Volkmann[1] 11 (v. autem 4, 220 et Tiedke[3] 64). — 301 *καλὴ LΩ*, pc. *PF*[2] (cf. Lehrs[1] 272); *καλὴν PF*[1] ac. — *καί LΩ*; *ναί* Cun. (obloquente Graefio[1] 34). — 302 *ἔπλετο δάφνη L* (Cun.) *Ω*; *ἔπλεκε δάφνην Ffl*. — 303 *σύρριγγι F*. — 304 *ἐμελίζετο g** ([1] 14) *k*; *ἐλελίζετο LΩ*. — 305 *παρθενική L*. — 308 *δάφνις Lf*Ω*; *δάφνης Ff*. — 313 *ὁ l*; *ὃ Ω*. — 314 *ὅττι gmk*, errore. — 315 *ἑοῦ f** (coll. 2, 19) *gmk*; *ἑὸν LΩ*; *ἔον Ffl*. — 317 *κτεῖνέ gmk*; *κτεῖνε LΩ*. — *με σῇ LΩ*; *μησῇ M*. — *οὐ σέο L* (Cun.) *Ω*; *οὐ γὰρ PFMfl*; *οὐκ ἄρα* Rhodom., *m**. — *οὐ γὰρ ἀκωκήν k**.

ἔμπεδον ἕλκος Ἔρωτος, ὑπὸ φρένα βοσκόμενον πῦρ.
τεθναίην, ὅτι πότμος ἐπήρατος· εἰ δὲ βελέμνῳ
τοξοφόρος μετὰ Κύπριν διστεύσεις με καὶ αὐτή,
πρὸς Παφίης, μὴ πέμπε κατ' αὐχένος, ἡμετέρην δὲ
σὸν βέλος εἰς φρένα πῆξον, ὅπῃ βέλος ἐστὶν Ἐρώτων.
αὐχένι μᾶλλον ἴαλλε τεὸν δόρυ, μὴ φρένα τύψῃς·
ὠτειλῆς ἑτέρης οὐ δεύομαι. εἰ δέ σε τέρπει,
τλήσομαι ἄλλο βέλεμνον, ὅπως ἐμὲ γαῖα καλύψῃ
καὶ πυρὸς ἕλκος ἔχοντα καὶ οὐτηθέντα σιδήρῳ.
κτεῖνέ με τὸν δυσέρωτα, τεῆς μὴ φείδεο νευρῆς.
θηλύνεις δὲ σίδηρον, ὅταν ψαύσειας ὀιστῶν·
ἵσταμαι αὐτοκέλευστος ἐγὼ σκοπός, ὄμματι τερπνῷ
δάκτυλα μαρμαίροντα περὶ γλυφίδεσσι δοκεύων,
ἐκταδὸν αὖ ἐρύοντα τεὴν μελιηδέα νευρὴν
δεξιτερῷ ῥοδόεντι πελαζομένην σέο μαζῷ.
θνήσκω νεκρὸς Ἔρωτος ἑκούσιος ἡδέι πότμῳ·
οὐκ ἀλέγω θανάτοιο καὶ οὐ τρομέω νέφος ἰῶν,
γυμνὴν ὑμετέρην χιονώδεα χεῖρα δοκεύων
ἁπτομένην τόξοιο καὶ ἱμερόεντος ὀιστοῦ.
εἰς ἐμὲ πάντα βέλεμνα τεῆς προΐαλλε φαρέτρης,
εἰς ἐμὲ πέμπε βέλεμνα μιαιφόνα· πικρότεροι γὰρ
ἄλλοι ἐμὲ κλονέουσι πυριγλώχινες ὀιστοί.
ἢν δὲ κατακτείνῃς με τεῷ φρενοθελγέι τόξῳ,
παρθένε, μὴ φλέξειας ἐμὸν δέμας ἠθάδι πυρσῷ·
πυρκαΐης ἑτέρης οὐ δεύομαι· ἀλλὰ σύ, κούρη,
μοῦνον ἐμοὶ φθιμένῳ γλυκερὴν περίχευε κονίην

---

322 *τοξοφόρος g* (1 35) *mk*; *τοξοφόρῳ* (-ω) *LΩ*. — *διστεύσεις Lg* (1 35) *mk*; *διστεύσῃς PM*; *-σῃς fl*; *ὁ ἰστεύσῃς F*. — 325—328 ante 320 posuit *m*. — 327 *καλύψῃ g* (1 16) *mk*; *καλύψει LΩ*. — 329 *κτεῖνέ gmk*; *κτεῖνε LΩ*. — 330 *θηλύνεις Lg** (1 35) *Ω*; *θηλύνῃς F*; *-νῃς flgm*. — *ὀιστῶν g* (1 36) *mk*; *ὀϊστῶ LP*; *ὀϊστῷ FM/l*. — 333 *τεὴν LΩ*; '*φίλην?*' *k**. — 336 fol. 63r *L*, 65r *P*. — 345 *φθιμένῳ LF²Ω*; *φθημένου F¹*.

χειρὶ τεῇ, πυμάτην ὀλίγην χάριν, ὄφρά τις εἴπῃ·
'παρθένος ὡς ἐλέαιρε, τὸν ἔκτανε.' μηδὲ θανόντος
αὐλὸς ἐμός, μὴ πηκτὶς ἐμῷ περὶ σήματι κείσθω,
ποιμενίην μὴ βάλλε καλαύροπα, μάρτυρα τέχνης·
ἀλλὰ κατακταμένοιο τεὸν βέλος ὑψόθι τύμβου
πῆξον, ἐμῷ δυσέρωτι λελουμένον εἰσέτι λύθρῳ.
δὸς δέ μοι ὑστατίην ἑτέρην χάριν· ὑψόθι τύμβου
ἄνθεα Ναρκίσσοιο ποθοβλήτοιο γενέσθω
ἢ κρόκος ἱμερόεις ἢ Μίλακος ἄνθος Ἐρώτων,
εἰαρινὴν δὲ φύτευε μινυνθαδίην ἀνεμώνην
πᾶσιν ἀπαγγέλλουσαν ἐμὴν μινυώριον ἥβην.
εἰ δέ σε μὴ τέκε πόντος ἀμείλιχος ἠὲ κολῶναι,
βαιὸν ἐμοὶ χέε δάκρυ, τόσον μόνον, ὅσσον ἐέρσαις
ἱμερτῆς ῥοδόεντα παρηίδος ἄκρα διαίνειν,
χειρὶ δὲ σεῖο χάραξον ἔπος τόδε πενθάδι μίλτῳ·
'ἐνθάδε βουκόλος Ὕμνος, ὃν ἔκτανεν ἄμμορον εὐνῆς
παρθενικὴ Νίκαια καὶ ἐκτερέιξε θανόντα'."
ὣς φαμένου Νίκαια χολώετο· λυσσαλέη δὲ
λοίγιον ἰοβόλου γυμνώσατο πῶμα φαρέτρης
καὶ βέλος ἰθυκέλευθον ἀνείρυσεν, ἐκταδίη δὲ
κυρτὸν ὀπισθοτόνοιο κέρας κυκλώσατο τόξου,
ἠνεμόεν δὲ βέλεμνον ἐς ἀνθερεῶνα νομῆος
φθεγγομένου προέηκε, καὶ ἄσχετος ἰὸς ἀλήτης
μῦθον ἔτι προχέοντα μέσῳ σφρηγίσσατο δεσμῷ.

---

346 τεῇ *f*lgmk*; τεῇ *LPM*; τεὴν *Ff*. — ὄφρά *LP*; ὄφρα *Ω*. — τίς *Ff*. — 347 μὴ δὲ *LPFMfl*. — 354 Μίλακος] v. Graefe[1] 36. — 355 εἰαρινὴν δὲ Lehrs[1] 298 (Volkmann[4] 21), *k**; εἰαρινήν τε *LΩ*. — 357 γλαυκὴ δέ σε τίκτε θάλασσα πέτραί τ' ἠλίβατοι Hom. Π 34. — 359 ἱμερτῆς *g*m*k*; ἱμερταῖς *L(m)Ω*. — 361 ἐπίγραμμα *L* im. — 363 ὡς *fl*. — 365 ἰθυκέλευθον *Lg* ([1] 36) *Ω*; ἰθικέλευθον *Ffl*. — ἀνείρυσεν *g* ([1] 36) *mk*; ἀνήρυσεν *LΩ*. — 369 προχέοντα et δεσμῷ (-ῶ) *LΩ* (defend. Graefe[1] 37. Tiedke[1] 33 coll. 26, 261. 28, 141); προχέοντα et λαιμῷ *gm*; προχέοντι et λαιμῷ Rhodom., *k*. — μέσσῳ σφρηγίσατο *F* ac.

ἀλλ' οὐ νεκρὸς ἄδακρυς ἔην τότε· μεμφομένη δὲ
ἀνδροφόνον Νίκαιαν ὀρεστιὰς ἄχνυτο Νύμφη,
μυρομένη νέκυν Ὕμνον· ἐν εὐύδρῳ δὲ μελάθρῳ
Ῥυνδακὶς ὑγροφόρητος ἀσάμβαλος ἔστενε κούρη·
Νηιάδες δ' ἔκλαυσαν· ὑπὲρ Σιπύλοιο δὲ γείτων
δάκρυσιν αὐτοχύτοις Νιόβης πλέον ἔστενε πέτρη.
κούρη δ' ὁπλοτάτη, γαμίων ἔτι νῆις Ἐρώτων,
μή πω Βουκολίωνος ὁμιλήσασα χαμεύνῃ,
Νηὶς Ἀβαρβαρέη νεμεσίζετο πολλάκι νύμφῃ·
ἀμφὶ δὲ Δίνδυμον ἄκρον ὁμήλυδες ἐγγύθι λόχμης
Ἀστακίδες μέμψαντο Κυβηλίδος ἤθεα νύμφης,
αἴλινα δ' ἐφθέγξαντο· καὶ οὐ τόσον αἴθοπι πότμῳ
Ἡλιάδες Φαέθοντος ἐδακρύσαντο θανόντος.
καὶ φονίης ἀδάμαστον ὀπιπεύων φρένα κούρης
τόξον Ἔρως ἔρριψε, καὶ ὅρκιον ὤμοσε βούτην,
παρθενικὴν ἀέκουσαν ὑποζεῦξαι Διονύσῳ.
ὄμμασι δ' ἀκλαύτοισι λεοντείων ἐπὶ δίφρων
Δινδυμὶς ἠιθέοιο δεδουπότος ἔστενε Ῥείη,
μήτηρ Ζηνός, ἄνασσα· καὶ ὀλλυμένου μόρον Ὕμνου
ἢ γάμον ἐχθαίρουσα κινύρετο παρθένος Ἠχώ.

371 *νύμφη* Lf*Ω; *νύμφην* Ff. — 372 *εὐύδρῳ* Lehrs[2] 149 (ut 43, 154); *εὐδένδρῳ* (-ω) LΩ: cf. Graefe[1] 37. — 373 *ἀσαμένος* (*ἀσάμενος* m*) *ἔστενε κρήνη* m. — 374 *ὕπερ* F. — *σειπήλϊο* F[1] (cr. F[2]). — 375 *πέτρη* Lf*Ω; *πέτρ'* (*πε* with *τρ'* above) F; *πέτρης* f. — 376 *ὁπλοτέρη* Lehrs[3] 180. — 377 *χαμεύνῃ* gm (cf. 5, 453); *χαμευνῇ* LPM; *-νῇ* f*; *χαμευνῆς* Ffl; *-νῆς* f*; *χαμεύνης* Graefe[1] 38, Koch[1] 191; *-ναις* g* (coll. 16, 23) k. — 378 *πολλάκι* LΩ; '*βυσσόθι* sive *νειόθι*?' k*. — *νύμφῃ* (L)f*gmk; *νύμφη* PΩ. — 379 *λόχμης*, sed o litterae α similis L, f*lgmk; *λάχνης* PFMf. — 380 *ἀστακίδες μ. κυβηλίδος* LΩ (v. Graefe[1] 38); *Ἀστακίδος μ. Κυβηλίδες* g*k. — 381 *δ' ἐφθέγξαντο* Scheindler[3] 428; *δὲ φθέγξαντο* LΩ. — 384 *ἔρριψε* LΩ; '*ἔψαυσε* vel *ἥρπαξε*?' k*. — 386 fol. 6ᵛ Π. — *ἀκλαύτοισι* gmk; *ἀκλαύστοισι* LΩ. — *λεοντ]ειων* Π. — 387 *εστ[ενε* Π. — 388 *ολλυ]μενου* Π. — 389 *ἢ* LΩ (defend. Koch[1] 189); *καὶ* g* ([1] 39) m.

καὶ δρύες ἐφθέγξαντο· 'τί σοι τόσον ἤλιτε βούτης;
μή ποτέ σοι Κυθέρεια, μὴ Ἄρτεμις ἵλαος εἴη.'
ἔδρακε δ' Ἀδρήστεια, μιαιφόνον ἔδρακε κούρην,
ἔδρακεν Ἀδρήστεια νέκυν σπαίροντα σιδήρῳ,
καὶ νέκυν ἀρτιδάικτον ἐδείκνυε Κυπρογενείῃ,
μέμψατο δ' αὐτὸν Ἔρωτα. καὶ εὐπετάλῳ παρὰ λόχμῃ
Ὕμνον ἐποικτείροντος ἐλείβετο δάκρυα ταύρου,
καὶ δάμαλις δάκρυσε, καὶ ἔστενεν ἀχνυμένη βοῦς
ποιμένος ἀσπαίροντος, ἔοικε δὲ τοῦτο βοῆσαι·
„βούτης καλὸς ὄλωλε, καλὴ δέ μιν ἔκτανε κούρη.
παρθενικὴ ποθέοντα κατέκτανεν, ἀντὶ δὲ φίλτρων
πότμον μισθὸν ἔδωκε, ποθοβλήτου δὲ νομῆος
αἵματι χαλκὸν ἔβαψε καὶ ἔσβεσε πυρσὸν Ἐρώτων —
βούτης καλὸς ὄλωλε, καλὴ δέ μιν ἔκτανε κούρη —
καὶ Νύμφας ἀκάχησεν, ὀρειάδος οὐ κλύε πέτρης,
οὐ πτελέης ἤκουσε καὶ οὐκ ᾐδέσσατο πεύκην
λισσομένην· 'μὴ πέμπε βέλος, μὴ κτεῖνε νομῆα'."
καὶ λύκος ἔστενεν Ὕμνον, ἀναιδέες ἔστενον ἄρκτοι,

---

390 ἤλιτε *P*; ἤλισε *M*. — βούτης *LΩ*; βοῦ *F*; βούτη *fl*. — 391 μὴ *FMf*. — ποτε σοὶ *g*; ποτε τοὶ *m*. — 393 σπέροντα F^1 (cr. F^2). — 394 νέκυν *f*lgmk*; νύ κεν *LPFMf*: cf. 47, 146. — ἀρτιδάκτϋον F^1 (cr. F^2). — 395 αὐτὸν *LΩ*; 'αἰνὸν?' *k**. — 396 ελ]ειβετ[ο *Π*. — 397 και εστ[ενεν *Π*. — 398 ποιμαίνον F^1 (cr. F^2). — 399] de hoc hymno egi 'Homerischer Hymnenbau' p. 347 sqq. (cf. Bekker^2 I 216). — καλὴ *LΩ*; 'quamquam κακὴ scribi posset, nescio tamen an Nonnus in illa operis sui parte, quae plane bucolica est, bucolicos poetas imitari voluerit' Herm.^{1} 818 (v. etiam Graefe ^{1} 39. Lehrs ^{1} 272). — 400 ποθέωντα *f* (cr. *f**). — 401 ποθωβλήτου *Ff* (cr. *f**): cf. 48, 670. — δε νο[μηος *Π*. — 402 fol. 63v *L*, 55v *P*. — πυρσον *Π*; πυρσῶν PF^1 (cr. F^2). — 403 κα[λη δ]ε *Π*. — 404 ακαχησεν ορ[ει]αδος *Π*. — 405 ηδεσσατο *Π*; ἠδέσσατο *FMflm*. — 406 λισσο]μενην *Π*. — νομῆα *LΩ*; φον[ηα *Π*. — 407 et 408 post 422 posuit *k*. — λύκος *L* (Canter, Rhodom., Unger 464) *g* (^{1} 39) *mk*; ...]ος *Π*; λέχος *PFMfl*. — ὕμνον *Π*. — ἀναιδέες *g* (^{1} 39 coll. 11, 346. al.) *mk*; αμειδεες ac., ανανδεες pc. *Π*; ἀνανδέες *LΩ*.

καὶ βλοσυροῖς βλεφάροισι λέων ὠδύρετο βούτην·
„βούτης καλὸς ὄλωλε, καλή δέ μιν ἔκτανε κούρη.
ἄλλο λέπας δίζεσθε, βόες, μαστεύσατε, ταῦροι,
ξεῖνον ὄρος· ποθέων γὰρ ἐμὸς γλυκὺς ὤλετο βούτης
θηλυτέρῃ παλάμῃ δεδαϊγμένος. εἰς τίνα λόχμην
ἴχνος ἄγω; σώζεσθε, νομαί, σώζεσθε, χαμεῦναι.
βούτης καλὸς ὄλωλε, καλή δέ μιν ἔκτανε κούρη.
χαίρετέ μοι, σκοπιαί τε καὶ οὔρεα, χαίρετε, πηγαί,
χαίρετε, Νηιάδες, καὶ ἐμαὶ δρύες." ἀμφότεροι δὲ
Πὰν νόμιος καὶ Φοῖβος ἀνίαχον· „αὐλὸς ἀλάσθω.
πῇ Νέμεσις; πῇ Κύπρις; Ἔρως, μὴ ψαῦε φαρέτρης·
σύριγξ, μηκέτι μέλπε· λιγύθροος ὤλετο βούτης."
δειλαίου δὲ νομῆος ἀμεμφέα λύθρον Ἐρώτων
γνωτῇ Φοῖβος ἔδειξε, καὶ ἔστενεν Ἄρτεμις αὐτὴ
Ὕμνου νεκρὸν ἔρωτα, καὶ εἰ πέλε νῆις Ἐρώτων.

---

408 *β]λ[οσ]υροις βλεφαρ[... Π.* — *βλεφάροισι FΩ*; *βλεφάρεσσι LPM.* — 409 *εκτα]νε κο[υρη Π.* — 410 *λέπας* $LF^2f^*Ω$ (*λε- Π*); *δέπας* F^1f. — *διζεσθαι* ac., *διζεσθε* pc. *Π*; *δίζεσθαι* F^1 (cr. F^2). — 411 *ορος· Π*; *ὄρος fl* (cr. *c*). — *ἔμος fl.* — 412 *θηλ]υτερη παλαμη Π.* — *εἰς τίνα* Tiedke[6] 475; *ἔς τινα LΩ*; *εἴς τινα k.* — 413 *ἄγω L*; *αγω Π*; *ἄδω P*; *ἔδω M*; *ἄδων* F^1f; *ἄγων* F^2f^*lgmk. — *σ]ωζεσθαι* ac., *σ]ωζεσθε* pc. *Π*; *σώζεσθαι* F^1 (cr. F^2). — *νομὴ PM.* — *σώζεσθαι* F^1 (cr. F^2). — *χαμεῦναι gmk*; *χαμευναὶ LΩ.* — 414 *καλλὸς F.* — *καλος ολ[ωλε Π.* — *καλλὴ F.* — 415 *χαίρετέ* $F^2f^*Ω$ (cf. 4, 184); *κλαίετέ* LPF^1f (v. Graefe[1] 40); *κλέετέ M*; ...]*ται* ac., ...]*τε* pc. *Π.* — 416 *χαίρετε LΩ*; ...]*εται* ac., ...]*ετε* pc. *Π.* — *νηϊα[δες Π.* — *ἐμαὶ δρύες* Cun., *g* ([1] 40); *ἅμα δρύες L* (Ouwaroff) *k* (v. autem Tiedke[3] 65); *ἀμαδρύες PF'flm*; *ἀμαδρυὲς*, sed *ὲς* ir. *M*; *Ἀμαδρυὰς* Rhodom: cf. ad 5, 440. — 417 *ἀλάσθω LP.* — 420 *ἀμεμφέα LΩ*; *ἀμειδέα k.* — 421 *Φοῖβος fΩ*; *φοῖβον LPFM.*